ἀντὶ δὲ ξύλων οἴσω σοι χαλκόν, ἀντὶ δὲ λίθων σίδηρον. καὶ δώσω
τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιο-
18 σύνῃ· [18]καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ σου οὐδὲ σύν-
τριμμα οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου, ἀλλὰ κληθήσεται Σω-
19 τήριον τὰ τείχη σου, καὶ αἱ πύλαι σου Γλύμμα. [19]καὶ οὐκ ἔσται
σοι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σοι
τὴν νύκτα, ἀλλ᾽ ἔσται σοι κύριος φῶς αἰώνιον καὶ ὁ θεὸς δόξα
20 σου. [20]οὐ γὰρ δύσεται ὁ ἥλιός σοι, καὶ ἡ σελήνη σοι οὐκ ἐκλείψει·
ἔσται γάρ κύριός σοι φῶς αἰώνιον, καὶ ἀναπληρωθήσονται αἱ ἡμέ-
21 ραι τοῦ πένθους σου. [21]καὶ ὁ λαός σου πᾶς δίκαιος, καὶ δι᾽ αἰῶνος
κληρονομήσουσιν τὴν γῆν, φυλάσσων τὸ φύτευμα, ἔργα χειρῶν
22 αὐτοῦ εἰς δόξαν. [22]ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας καὶ ὁ ἐλάχιστος
εἰς ἔθνος μέγα· ἐγὼ κύριος κατὰ καιρὸν συνάξω αὐτούς.
61 [1]Πνεῦμα κυρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με· εὐαγγελίσασθαι
πτωχοῖς ἀπέσταλκέν με, ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ,
2 κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, [2]καλέσαι ἐνιαυ-
τὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας
3 τοὺς πενθοῦντας, [3]δοθῆναι τοῖς πενθοῦσιν Σιων δόξαν ἀντὶ σπο-
δοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσιν, καταστολὴν δόξης ἀντὶ
πνεύματος ἀκηδίας· καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα
4 κυρίου εἰς δόξαν. [4]καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίας, ἐξηρημω-
μένας πρότερον ἐξαναστήσουσιν· καὶ καινιοῦσιν πόλεις ἐρήμους
5 ἐξηρημωμένας εἰς γενεάς. [5]καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ
6 πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες καὶ ἀμπελουργοί· [6]ὑμεῖς δὲ
ἱερεῖς κυρίου κληθήσεσθε, λειτουργοὶ θεοῦ· ἰσχὺν ἐθνῶν κατέδεσθε
7 καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. [7]οὕτως ἐκ δευτέρας
κληρονομήσουσιν τὴν γῆν, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς
8 αὐτῶν. [8]ἐγὼ γάρ εἰμι κύριος ὁ ἀγαπῶν δικαιοσύνην καὶ μισῶν
ἁρπάγματα ἐξ ἀδικίας· καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις καὶ

17 ξυλου A† || 18 ουκ .. ετι] ουκετι .. S† | κληθησονται S (S*† etiam ακουσθησονται) || 19 σοι 1⁰] > S*†; + ετι BLC = 𝔐 | σοι 2⁰] σε S | φως ult.] pr. εις S*† || 20 δυσεται] δυνησεται B*S*† | σοι 1⁰] σου A† | κυριος] + ο θεος S*† || 21 και 2⁰ > BL = 𝔐 | αυτου] -των S† || 22 ελαχ.] + εστε (pro -ται) S*

61 1 πτωχοις] ταπεινοις S*† | την καρδιαν BLpCp || 2 ανταποδοσεως (S*† -ων)] + τω θεω ημων L (in O sub ※) || 3 δοξαν 1⁰] pr. ※δουναι αυτοις O, pr. αυτοις BS*, + αυτοις L | φυτευμα] + δικαιοσυνης S*† || 4 εξηρημωμενας bis] εξερ. 1⁰ SAC, 2⁰ BSAC | προτερον] pr. το S, -ρας AQ || 5 τα προβ./σου] tr. S† || 6 λειτουργοι] pr. και A | θεου] + υμων ρηθησεται υμιν LC (in O sub ※), + υμων S* | ισχυς A† | εν] επι A† || 7 init.] pr. αντι της αισχυνης υμων της διπλης και αντι της εντροπης αγαλλιασεται η μερις αυτων L: sim. O sub ※, sed διπλας και εντροπης αγαλλιασονται μερις pro της διπλης — η μερις | εκ δευτ. κληρ./την γην] tr. BV† et L (την γην αυτων εκ δευτερου κληρ.): cf. 𝔐 || 8 και ult. > S*†